23 δοκίμασόν με, ὁ θεός, καὶ γνῶθι τὴν καρδίαν μου,
ἔτασόν με καὶ γνῶθι τὰς τρίβους μου
24 καὶ ἰδὲ εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί,
καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

139 ΡΛΘʹ

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυιδ.
2 Ἐξελοῦ με, κύριε, ἐξ ἀνθρώπου πονηροῦ,
ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με,
3 οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ,
ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους·
4 ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως,
ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν.
διάψαλμα.
5 φύλαξόν με, κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ,
ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με,
οἵτινες ἐλογίσαντο ὑποσκελίσαι τὰ διαβήματά μου·
6 ἔκρυψαν ὑπερήφανοι παγίδα μοι
καὶ σχοινία διέτειναν, παγίδας τοῖς ποσίν μου,
ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι.
διάψαλμα.
7 εἶπα τῷ κυρίῳ Θεός μου εἶ σύ·
ἐνώτισαι, κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου.
8 κύριε κύριε δύναμις τῆς σωτηρίας μου,
ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
9 μὴ παραδῷς με, κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ·
διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.
διάψαλμα.
10 ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν,
κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς.
11 πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄνθρακες,
ἐν πυρὶ καταβαλεῖς αὐτούς,
ἐν ταλαιπωρίαις οὐ μὴ ὑποστῶσιν.
12 ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς,
ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.
13 ἔγνων ὅτι ποιήσει κύριος τὴν κρίσιν τοῦ πτωχοῦ

23¹ ο θεος] κυριε A || 24¹ οδος Sa] ειδες BS, ειδες οδον A†
139 (𝔐 140) 1 ψ./τω δ.] tr. BS || 3¹ αδικιαν A || 5¹ κυριε > S† | 5² ανθρωπου αδικου A | εξελου] ρυσαι A†: ex 2 || 11¹·² ανθρ., εν πυρι καταβ. αυ. A] ανθρ. πυρος επι της γης, και καταβ. αυ. B, ανθρ. πυρος, και καταβ. αυ. επι της γης S || 12¹ > B† | ου] + μη S† | 12² καταφθοραν B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/158 UNIVERSITÄT LEIPZIG